
ΧΟΡΟΣ.

Τί δ' αὖ[8] τόδ' ἄχθος βασιλέων ἥκεις φέρων;

ΑΓΓΕΛΟΣ.

Τεθνᾶσιν[9]· οἱ δὲ ζῶντες αἴτιοι θανεῖν[10].

των. Καὶ ὁ Σιμωνίδης ἐν Ἀποσπ. 71 *λέγει " τίς γὰρ ἁδονᾶς ἄτερ θνατῶν βίος ποθεινὸς ἢ ποία τυραννίς; τᾶς δ' ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών".*

1) *Ἐν τῇ φράσει ὑπόκειται ἡ ἔννοια, ὅτι ὁ ἄνθρωπος ποιεῖ προδοσίαν καθ' ἑαυτοῦ, ὅταν θυσιάζῃ τὰς ἡδονάς.*

2) *Ἔνιοι τῶν κριτικῶν προσκρούουσιν εἰς τὴν φράσιν, ἐξ ὧν ὁ* Nauck *παρατηρεῖ, ὅτι περιέμενέ τις ταύτην οὑτωσί· ο ὔ τ ι φ ή μ' ἐ γ ὼ ζ ῆ ν τ ο ῦ τ ο ν ἢ ο ὐ τ ί θ η μ' ἐ γ ὼ ζ ῶ ν τ ο ῦ τ ο ν. Τὸ τιθέναι ἔχει τὴν σημασίαν τοῦ νομίζειν, ἡγεῖσθαι, ὡς πολλαχοῦ. Ὀρθῶς δὲ ὁ Σχολιαστὴς ἑρμηνεύει· " Οὐ τίθημι, φησίν, ἐν τοῖς ζῶσι τὸν τοιοῦτον· οἷον, οὐ νομίζω ζῆν ἐκεῖνον τὸν ἄνδρα, ὃν ἂν προδῶσιν οἱ ἡδοναί".*

3) *Ἔθηκε τὴν ἀντωνυμίαν καθ' ἑνικὸν ἀριθμόν, ὡσεὶ προηγεῖτο ἀ ν ὴ ρ καὶ οὐχὶ ἄ ν δ ρ ε ς.*

4) *Οἱ Ἀττικοὶ συχνάκις μεταχειρίζονται ἀντὶ τοῦ ζ ῆ θ ι. Τὸ τύραννος ἐνταῦθα κεῖται ἀντὶ τοῦ ἐπιθέτου τυραννικός, ὡς ἐν Οἰδίποδ. τυράνν.* 588 *"τύραννα δρᾶν".*

5) *Ἄλλα εἶναι τὰ μὴ περιεχόμενα ἐν ταῖς ἡδοναῖς. Καὶ ὁ Πίνδαρος ἐν Πυθ.* VIII 95 *λέγει " σκιᾶς ὄναρ ἄνθρωπος" Αἰσχυλ. ἐν Ἀποσπ.* 390 *" τὸ βρότειον σπέρμα πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιάν".*

6) *Τὸ πρίασθαι δέχεται τὴν δοτικὴν καὶ ἀλλαχοῦ, Ἀριστοφάν. Ἀχαρν.* 812 *" πόσου πρίωμαί σοι σὰ χοιρίδια;" ἐν Βατράχ.* 1229 *" ἐγὼ πρίωμαι τῷδε (τὴν λήκυθον);"*

7) *Δηλαδὴ ἂν παραβληθῶσι τὰ ἄλλα πρὸς τὴν ἡδονήν.*

8) *Τοῦτο εἶναι ἐπανάληψις· διότι οἱ γέροντες εἶδον τὴν μὲν Ἀντιγόνην ἀπαχθεῖσαν εἰς τὸν θάνατον, τὸν δὲ Αἵμονα διενεχθέντα πρὸς τὸν πατέρα.*

9) *Ὁ ἄγγελος ἐν τῇ σπουδῇ αὐτοῦ ὑποτίθησιν, ὅτι εἶναι γνωστοὶ τῷ χορῷ οἱ τεθνεῶτες. Ἐννοεῖ δὲ τὸν Αἵμονα καὶ τὴν Ἀντιγόνην.*

10) *Ἐπειδὴ εἶναι ὀνοματικὸν ἀπαρέμφατον, ἠδύνατο νὰ προστεθῇ τὸ*

ΧΟΡΟΣ.

Καὶ τίς φονεύει[1]*; τίς δ' ὁ κείμενος; λέγε.*

ΑΓΓΕΛΟΣ.

Αἵμων ὄλωλεν· αὐτόχειρ δ' αἱμάσσεται[2].

ΧΟΡΟΣ.

Πότερα πατρῴας[3] *ἢ πρὸς οἰκείας χερός;*

ἄρθρον, Ἡρόδοτ. II, 20 "*τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμόν*"· *Ξενοφ. ἐν Ἑλλ.* VII, 4, 19 "*αἴτιος συνάψαι*".

¹) *Εἶναι φονεύς. Ἐπειδὴ ὁ ἄγγελος εἶπεν* *αἴτιοι θανεῖν*, *ὁ χορὸς εἰκάζει, ὅτι ἐγένετο βίαιος θάνατος. Ἐνταῦθα κατὰ τὸν* Bellermann *ἀνοίγει ἡ θύρα τῶν ἀνακτόρων ὀλίγον καὶ γίνεται ὁρατὴ ἡ Εὐρυδίκη, ἥτις προτίθεται μετὰ τῶν θεραπαινίδων νὰ ἐξέλθῃ. Ἀλλ' αὕτη εἰσέρχεται εἰς τὴν σκηνὴν τὸ πρῶτον ἐν στίχ.* 1180· *διότι τὸ ἄλγος τῆς φοβερᾶς ἀγγελίας καθίστησιν αὐτὴν ἀναίσθητον, ὡς λέγεται ἐν στίχ.* 1188.

²) *Ὁ Σχολιαστὴς ἀπορεῖ, ὅτι ὁ χορὸς ἐρωτᾷ, ἂν ὁ Αἵμων ἐφονεύθη διὰ τῆς χειρὸς τοῦ πατρὸς ἢ τῆς ἰδίας, ἐν ᾧ ἤκουσε τὴν φράσιν,* *αὐτόχειρ δ' αἱμάσσεται*. "*Τὸ Χ, ὅτι ἐρωτᾷ πότερα πατρῴας ἢ πρὸς οἰκείας χειρός, ἀκούσας ἤδη ὅτι αὐτόχειρ ἀπέθανεν*". *Τούτου ἕνεκεν ὁ* Meineke *νομίζει, ὅτι ἡ φράσις πρέπει νὰ διορθωθῇ εἰς* *ἀρτίχειρ αἱμάσσεται*, *ὅπερ δὲν εἶναι ἀναγκαῖον. Διότι τὸ αὐτόχειρ ἔχει γενικωτέραν σημασίαν, ὡς μαρτυροῦσι πολλὰ ἄλλα χωρία, Ξενοφ. ἐν Ἑλλην.* VI, 4, 35 "*ἀποθνήσκει, αὐτοχειρίᾳ μὲν ὑπὸ τῶν τῆς γυναικὸς ἀδελφῶν*". *Εὐριπίδ. Μήδ.* 1280 "*τέκνων ἄροτον αὐτόχειρι μοίρᾳ κτενεῖς*" 1254 "*τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον*". *Ὁ ἡμέτερος Σεμιτέλος τρέπει εἰς,* *Αἵμων ὄλωλ', ἡ δ' αὐτόχειρ δαμάζεται*· *διότι νομίζει, ὅτι δὲν εἶναι πρέπον ὁ ἄγγελος νὰ μὴ εἴπῃ τι περὶ τοῦ θανάτου τῆς Ἀντιγόνης, ἥτις ἦτο τοῦ βασιλείου οἴκου καὶ ἡρωῒς τοῦ δράματος. Ἡ διόρθωσις οὔτε διὰ σπουδαίαν αἰτίαν γίνεται, οὔτε ὀρθὴ δύναται νὰ ἦναι. Ὁ θάνατος τῆς ἡρωΐδος μνημονεύεται μέν, ἀλλὰ μετ' ὀλίγον (στίχ.* 1221), *ὡς ἔδει. Διότι ὁ ἄγγελος ἀνήκων εἰς τοὺς ἀκολούθους τοῦ Κρέοντος διὰ τὸν θάνατον τοῦ υἱοῦ τούτου ἐλυπεῖτο. Πρὸς δὲ ἡ διόρθωσις δὲν εἶναι ὀρθή, διότι παρέχει τὴν ἔννοιαν, ὅτι μόνη ἡ Ἀντιγόνη ηὐτοκτόνησεν, ἐν ᾧ καὶ ὁ Αἵμων καὶ ἡ μνηστὴ τούτου τὴν αὐτὴν ἔσχον τύχην.*

³) *Ἡ πρόθεσις ἐκ τοῦ ἑπομένου ἐννοεῖται καὶ ἐνταῦθα, ὡς ἐν Οἰδίπ. τυράνν.* 733. *Φαίνεται παράδοξον, ὅτι ὁ χορὸς εἰκάζει φόνον τοῦ Αἵμονος παρὰ τοῦ πατρός, ἐν ᾧ οὗτος πορεύεται, ὅπως σῴσῃ αὐτόν. Δὲν ἦτο ὅμως καὶ ὅλως ἀπίθανος ἡ ἐπανάληψις τῶν προτέρων ἐρίδων.*

ΑΓΓΕΛΟΣ.

Αὐτὸς πρὸς αὑτοῦ, πατρὶ μηνίσας φόνου[1].

ΧΟΡΟΣ.

Ὦ μάντι, τοὔπος ὡς ἄρ' ὀρθὸν ἤνυσας[2].

ΑΓΓΕΛΟΣ.

Ὡς ὧδ' ἐχόντων[3] *τἄλλα βουλεύειν πάρα.*

ΧΟΡΟΣ.

Καὶ μὴν ὁρῶ τάλαιναν Εὐρυδίκην[4] *ὁμοῦ*
δάμαρτα τὴν Κρέοντος· ἐκ δὲ δωμάτων
ἤτοι κλύουσα παιδὸς[5] *ἢ τύχῃ πάρα.*

ΕΥΡΥΔΙΚΗ.

Ὦ πάντες ἀστοί[6], *τῶν λόγων ἐπῃσθόμην*
πρὸς ἔξοδον στείχουσα, Παλλάδος[7] *θεᾶς*

[1]) *Ἐννοεῖ τὸν φόνον τῆς μνηστῆς Ἀντιγόνης. Ἡ ἰσχυρὰ αὕτη λέξις λέγεται κατὰ τὸν τρόπον, καθ' ὃν ἤθελεν ἐκφρασθῇ ὁ Αἵμων.*

[2]) *Τὸ ἀνύω λέγεται καὶ ἐπὶ μαντευμάτων, ὡς ἐν Οἰδίποδ. ἐπὶ Κολων.* 453 *“τὰ ἐξ ἐμοῦ παλαίφατα μαντεῖα, ἁμοὶ Φοῖβος ἤνυσέν ποτε„.*

[3]) *Ἐν τῇ γενικῇ ἀπολύτῳ συνήθως τίθεται καὶ τὸ ὑποκείμενον, σπανίως δὲ παραλείπεται, ὡς ἐν Αἴαντ.* 981. *ἐν Ἠλέκτρ.* 1344.

[4]) *Ὁ Ἡσίοδος τὴν γυναῖκα τοῦ Κρέοντος ὀνομάζει Ἡνιόχην, Ἀσπὶς Ἡρακλ.* 83

[5]) *Ἡ συνήθης σύνταξις εἶναι περὶ παιδός, ἀλλὰ καὶ ἄνευ τῆς προθέσεως εὕρηται ἡ γενική, Οἰδίπ. ἐπὶ Κολων.* 306 *“ὥστε κεἰ βραδὺς σπεύδει, κλύων σοῦ δεῦρ' ἀφίξεται ταχύς„. ἐν Τραχιν.* 1122 *“τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων„.*

[6]) *Διαφέρει ὁ ἀστὸς τοῦ πολίτου· ὁ πρῶτος οἰκεῖ ἐν τῷ ἄστει, ὁ δεύτερος ἔχει πολιτικὰ δικαιώματα, Ἀριστοφάν. ἐν Λυσιστράτ.* 638 *“ὦ πάντες ἀστοί, λόγων κατάρχομεν τῇ πόλει χρησίμων„. Βεβαίως πρὸ τῆς Εὐρυδίκης δὲν ἦσαν πάντες οἱ ἀστοί, ἀλλὰ μόνον οἱ ἄριστοι· ὁ χορὸς ὅμως ἀντιπροσωπεύει ὁλόκληρον τὴν πόλιν.*

[7]) *Ὁ ποιητὴς χάριν τῶν Ἀθηναίων ὀνομάζει ταύτην τὴν θεάν, ὡς καὶ ἐν Οἰδίπ. τυράνν.* 20 *“τὸ δ' ἄλλο φῦλον ἐξεστεμμένον ἀγοραῖσι θακεῖ πρός τε Παλλάδος διπλοῖς ναοῖς ἐπ' Ἰσμηνοῦ τε μαντείᾳ σποδῷ„.*

ὅπως ἱκοίμην εὐγμάτων προσήγορος[1].
καὶ τυγχάνω τε κλῇθρ' ἀνασπαστοῦ[2] *πύλης*
χαλῶσα, καί[3] *με φθόγγος*[4] *οἰκείου κακοῦ*
βάλλει δι' ὤτων· ὑπτία δὲ κλίνομαι
δείσασα πρὸς δμωαῖσι, κἀποπλήσσομαι[5].
ἀλλ' ὅστις ἦν ὁ μῦθος, αὖθις εἴπατε·
κακῶν[6] *γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι.*

ΑΓΓΕΛΟΣ.

Ἐγώ, φίλη δέσποινα, καὶ παρὼν[7] *ἐρῶ,*
κοὐδὲν παρήσω τῆς ἀληθείας ἔπος.
τί γάρ σε μαλθάσσοιμ'[8] *ἂν ὧν ἐς ὕστερον*

[1]) *Τὸ προσαγορεύειν συντάσσεται διπλῇ αἰτιατικῇ, ἐξ ὧν ἡ μὲν δηλοῖ τὸ πρόσωπον, ἡ δὲ τὸ πρᾶγμα. Τὴν Παλλάδα προσαγορεύω εὔγματα. Καὶ αἱ δύο αὗται αἰτιατικαὶ ἐν τῷ ὀνόματι ἐτράπησαν εἰς γενικάς, ὡς παρὰ Θουκυδ.* I, 126, 8 “ *κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος*„. *Τὸ προσήγορος πολλαχοῦ ἔχει παθητικὴν σημασίαν, ἐνταῦθα δὲ ἐνεργητικήν.*

[2]) *Ἐπισπᾶν μὲν τὴν θύραν σημαίνει κλείειν τὴν θύραν, ὡς παρὰ Ξενοφ. ἐν Ἑλλην.* VI, 4, 36, *ἀνασπᾶν δὲ ἀνοίγειν αὐτήν, Πολύβ.* V, 39, 4 “*ὥρμησαν πρὸς τὴν ἄκραν, ὡς ἀνασπάσοντες ταύτης τὰς πυλίδας*„. *Ἀππιαν.* VI, 78 “*τὰς πύλας οὐ δυναμένους ἔτι ἀνασπάσαι χωρὶς ἀνασπαστηρίων γενομένας*„. *Ἡ Εὐρυδίκη ἐχάλα τὰ κλεῖθρα (τὸν ὀχέα) τῆς πύλης, ὥστε ἀνασπαστὸν αὐτὸν γενέσθαι.*

[3]) *Ἡ σύνταξις εἶναι παρατακτική, ὡς Ξενοφ. ἐν Κύρ. Ἀναβάσ.* IV, 6, 2 “*καὶ ἤδη τε ἦν ἐν τῷ τρίτῳ σταθμῷ, καὶ ὁ Χειρίσοφος αὐτῷ ἐχαλεπάνθη, ὅτι οὐκ εἰς κώμας ἤγαγεν· ὁ δὲ ἔλεγεν ὅτι οὐκ εἶεν ἐν τῷ τόπῳ τούτῳ*„ *ἐν Κύρ. Παιδ.* I, 4, 28 “*καὶ ὁδόν τε οὔπω πολλὴν διηνύσθαι αὐτοῖς καὶ τὸν Μῆδον ἥκειν πάλιν ἱδροῦντι τῷ ἵππῳ*„ *Ἡρόδοτ.* IV, 135 “*νύξ τε ἐγένετο καὶ ὁ Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ*„.

[4]) *Δηλαδὴ φθόγγος περὶ οἰκείου κακοῦ.*

[5]) *Ἡ Εὐρυδίκη ἔπεσεν εἰς τὰς ἀγκάλας τῶν θεραπαινίδων καὶ ἐγένετο λειπόθυμος.*

[6]) *Λέγει τοῦτο· διότι εἶχεν ἀπολέσει τὸν Μεγαρέα.*

[7]) *Ὁ ἄγγελος δύναται ἀκριβῶς νὰ ἀγγείλῃ τὰ γενόμενα, διότι ἦτο παρών, ὡς Αἰσχυλ. Πέρσ.* 266 “*καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων, Πέρσαι, φράσαιμ' ἄν, οἷ' ἐπορσύνθη κακά*„.

[8]) *Μαλθάσσειν σημαίνει μεταχειρίζεσθαί τινα διὰ περιποιητικῶν λόγων, ἵνα μὴ οὗτος λυπῆται, παραμυθεῖσθαι, Αἰσχύλ. Ἀγαμέμν.* 620 “*οὐκ*

ψεῦσται φανούμεθ'[1]*; ὀρθὸν*[2] *ἀλήθει' ἀεί.*
ἐγὼ δὲ[3] *σῷ ποδαγὸς*[4] *ἑσπόμην πόσει*
πεδίον ἐπ' ἄκρον, ἔνθ' ἔκειτο νηλεὲς[5]
κυνοσπάρακτον σῶμα Πολυνείκους ἔτι·
καὶ τὸν μέν, αἰτήσαντες ἐνοδίαν θεὸν[6]
Πλούτωνά τ' ὀργὰς εὐμενεῖς[7] *κατασχέθειν,*
λούσαντες ἁγνὸν λουτρόν, ἐν νεοσπάσιν
θαλλοῖς[8]*, ὃ δὴ 'λέλειπτο*[9] *συγκατήθομεν,*
καὶ τύμβον ὀρθόκρανον[10] *οἰκείας χθονὸς*[11]
χώσαντες, αὖθις[12] *πρὸς λιθόστρωτον κόρης*
νυμφεῖον Ἅιδου κοῖλον εἰσεβαίνομεν[13]*.*

ἔσθ' ὅ πως λέξαιμι τὰ ψευδῆ καλὰ ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον„.

1) *Μετέβαλε τὸν ἀριθμόν, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν* 1092 *“ἐπιστάμεσθα δ', ἐξ ὅτου λευκὴν ἐγὼ τήνδ' ἐκ μελαίνης ἀμφιβάλλομαι τρίχα„.*

2) *Εἶναι ὀρθόν, δηλ. οὐχὶ κακῶς ἱδρυμένον καὶ κινούμενον νὰ πέσῃ.*

3) *'Εξακολουθεῖ τὸν λόγον, ὃν διέκοψεν ἡ διὰ τοῦ γὰρ παρεντεθεῖσα πρότασις.*

4) *Οἱ τραγικοὶ ἔχουσιν ἐν τοῖς ἐκ τοῦ ἄγω συνθέτοις τὸ α, ὡς ὁδαγός, κυναγός, πλὴν τοῦ ἀρχηγός, στρατηγός, κυνηγέτης καὶ τῶν ἐντεῦθεν παραγώγων.*

5) *Ἔχει παθητικὴν σημασίαν. Ὁ Σχολιαστὴς ἑρμηνεύει· “'Ελέους μὴ τυχὸν„ Οἰδιπ. τύρανν. 180 “νηλέα δὲ γένεθλα πρὸς πέδῳ θαναταφόρα κεῖται ἀνοίκτως„.*

6) *'Εννοεῖ τὴν Ἑκάτην, ἥτις εἶχεν ὀργισθῇ κατὰ τοῦ Κρέοντος· διότι ἐν ταῖς ὁδοῖς ἔκειτο τὸ πτῶμα τοῦ Πολυνείκους. Σημειωτέον, ὅτι αὕτη ἐν μὲν τῷ Ὁμηρ. ὕμν. εἰς Δήμ. 438 λέγεται ὀπαδὸς τῆς Δήμητρος, ἀλλαχοῦ δὲ ταὐτίζεται τῇ Περσεφόνῃ.*

7) *'Αποδίδοται εἰς τὴν ἐνοδίαν θεὸν καὶ εἰς τὸν Πλούτωνα.*

8) *Θαλλὸς κυρίως ἐλέγετο κλάδος ἐλαίας, δι' οὗ συνήθως ἔκαιον τὰ πτώματα.*

9) *Μέρος τοῦ πτώματος του Πολυνείκους εἶχε φθαρῇ ὑπὸ τῶν κυνῶν καὶ τῶν οἰωνῶν.*

10) *Τὸ ἐπίθετον σημαίνει ὑψηλός.*

11) *Δηλαδὴ ἐκ πατρῴας γῆς, ἐν ᾗ ἐγεννήθη ὁ Πολυνείκης. 'Επειδὴ τοῦτο ἦτο μεγάλη εὐχὴ παρὰ τοῖς ἀρχαίοις, ὁ ἄγγελος ἐξαίρει, ὅπως δείξῃ, ὅτι ὁ Πολυνείκης ἔτυχε τῆς προσηκούσης τιμῆς.*

12) *Ποιεῖ ἀντίθεσιν πρὸς τὸ τὸν μέν. Σημαίνει δὲ ἔπειτα. Ὁ* Blaydes *καὶ ὁ* Seyffert *διορθοῦσιν εἰς εὐθύς, ἀλλ' ἡ διόρθωσις δὲν εἶναι ἀναγκαία.*

13) *Ὁ* Wunder *λέγει, ὅτι πρέπει*

φωνῆς δ' ἄπωθεν ὀρθίων[1] κωκυμάτων
κλύει τις ἀκτέριστον ἀμφὶ παστάδα[2],
καὶ δεσπότῃ Κρέοντι σημαίνει μολών·
τῷ δ' ἀθλίας ἄσημα[3] περιβαίνει βοῆς
ἕρποντι μᾶλλον[4] ἆσσον, οἰμώξας δ' ἔπος
ἵησι δυσθρήνητον· ὦ τάλας ἐγώ,
ἆρ' εἰμὶ μάντις; ἆρα δυστυχεστάτην
κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;[5]

νὰ νοῶμεν τὸ χωρίον οὕτω· πρὸς τὴν κόρην εἰς τὸ λιθόστρωτον αὐτῆς νυμφεῖον, — ἐβαίνομεν. Νομίζομεν, ὅτι ἡ μὲν πρὸς σημαίνει οὐχὶ ἀκριβῶς ὡρισμένον σημεῖον, ἡ δὲ εἰς τοῦτο προσδιορίζει. Αἱ δύο αὗται προθέσεις ἀπαντῶσι καὶ ἀλλαχοῦ Οἰδίπ. ἐπὶ Κολων 125 *“προσέβα γὰρ οὐκ ἂν ποτ' ἀστιβὲς ἄλσος ἐς τᾶνδ' ἀμαιμακετᾶν κορᾶν„ ἐν 'Ηλέκτρ.* 436 *“ἔνθα μή ποτ' εἰς εὐνὴν πατρὸς τούτων πρόσεισι μηδέν„. Τὸ νυμφεῖον Ἅδου ἀποτελεῖ μίαν ἔννοιαν, ἐξ ἧς ἐξαρτᾶται ἡ γενικὴ κόρης.*

1) *Ὄρθια κωκύματα εἶναι τὰ ὀξέα, ὡς ἐν Ὁμηρικ. ὕμν. εἰς Δήμητρ.* 20 *“ἰάχησε δ' ἄρ' ὄρθια φωνῇ„.*

2) *Ὁ Σχολιαστὴς ἑρμηνεύει· “Τὸν κακοκτέριστον τῆς 'Αντιγόνης τόπον ἢ τὸν μὴ δεξάμενον ἐντάφια„. Ἡ λέξις παστὰς ἔχει πολλὰς σημασίας, σημαίνει δὲ καὶ τὸν νυμφῶνα, ἤτοι τὸν νυμφικὸν θάλαμον. Οὕτως ὀνομάζεται ἐνταῦθα ὁ τάφος, διότι ὑπῆρχον οἱ δύο μνηστῆρες.*

3) *Οἱ κριτικοὶ προσκρούουσιν εἰς τὸ χωρίον καὶ ὁ μὲν* Nauck *ἀντὶ ἄσημα εἰκάζει ἄχημα, ὁ δὲ* Schäfer *ἀντὶ τοῦ περιβαίνει θέλει περισαίνει καὶ ὁ* Wunder *περιπολεῖ. Ὁ κ. Σεμιτέλος περιέμενε τοιοῦτόν τι νόημα, “ἐφ' ὅσον μᾶλλον ἐπλησίαζεν, ἐπὶ τοσοῦτον σαφέστερος καὶ εὐγνωστότερος προσέπιπτεν αὐτῷ ὁ χαρακτὴρ τῆς φωνῆς (φώνημα) τοῦ Αἵμονος„. 'Αλλὰ δὲν ἠδυνήθη νὰ διορθώσῃ τὸ χωρίον Τοῦτο δὲν ἔχει ἀνάγκην διορθώσεως· τὸ κατ' ἀρχὰς ἤκουσέ τις ὀξέων θρήνων, εἶτα δ' ὁ πατὴρ πλησιάσας ἤκουσεν ἀκατάληπτον μὲν φωνήν, ἀλλ' ἀνεγνώρισεν ὅτι ὁ υἱὸς ἐφώνησεν, ὡς μαρτυρεῖ ὁ ἑπόμενος αὐτοῦ λόγος.*

4) *'Αντὶ τοῦ συγκριτικοῦ τίθεται τὸ θετικὸν μετὰ τοῦ μᾶλλον· ἐνίοτε δὲ τοῦτο τίθεται καὶ μετὰ συγκριτικοῦ Ἡρόδοτ. Ι.* 31 *“ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν„ Πλάτ. ἐν Νόμ.* VI, 781 *Α. “γένος ἡμῶν τῶν ἀνθρώπων λαθραιότερον μᾶλλον καὶ ἐπικλοπώτερον ἔφυ τὸ θῆλυ διὰ τὸ ἀσθενές„. 'Ισοκράτ. 'Αρχίδαμ.* 138 *Β. “πολὺ μᾶλλον κρεῖττον, μεγάλου καιροῦ τιμὴν ἀνταλλάξασθαι, ἢ μικροῦ χρόνου μεγάλης αἰσχύνης ἡμᾶς αὐτοὺς περιβαλεῖν„.*

5) *'Επειδὴ ἔθηκεν ὑπερθετικόν περιέμενέ τις τὴν γενικὴν πασῶν ὁδῶν. 'Αλλὰ καὶ ἐν τοῖς ἔμπροσθεν στίχ.* 102 *εἴδομεν “ τὸ κάλλιστον ἐν*

παιδός με σαίνει φθόγγος· ἀλλά, πρόσπολοι,
ἴτ' ἆσσον ὠκεῖς[1]*, καὶ παραστάντες τάφῳ*
ἀθρήσαθ', ἁρμὸν[2] *χώματος λιθοσπαδῆ*
δύντες πρὸς αὐτὸ στόμιον, εἰ[3] *τὸν Αἵμονος*
φθόγγον ξυνίημ', ἢ θεοῖσι κλέπτομαι[4]*.*
τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν[5]
ἠθροῦμεν· ἐν δὲ λοισθίῳ τυμβεύματι
τὴν μὲν κρεμαστὴν αὐχένος[6] *κατείδομεν,*

πταπύλῳ φανὲν Θήβᾳ τῶν προτέρων φάος„ καὶ ὁ Ὅμηρος ἐν Ἰλιάδ. Α, 505 λέγει “ὠκυμορώτατος ἄλλων„:

1) *Ὅτι ὁ Κρέων προπέμπει τοὺς θεράποντας καὶ αὐτὸς μένει, κατὰ τὸν* Bellermann *εἶναι τεκμήριον τῆς ἐσωτερικῆς αὐτοῦ ἀγωνίας, ἄδηλος προαίσθησις λέγει τούτῳ, ὅτι ἀναμένει αὐτὸν φοβερὸν θέαμα.*

2) *Ἁρμὸς εἶναι ἡ διαρρωγή, δι' ἧς ἐγένετο ἡ κάθοδος εἰς τὸν τάφον (χῶμα). Ἡ ἐξωτερικὴ τῆς διαρρωγῆς πύλη ἔκλειε διὰ λίθου, ὅστις ἀπεσπᾶτο, ὅτε ἤθελέ τις νὰ εἰσέλθῃ εἰς τὸν τάφον. Διὰ τοῦτο ὁ Σχολιαστὴς τὸ λιθοσπαδὴς ἐξηγεῖ· “ὡς λίθου ἀποσπασθέντος, ὅπως εἰσέλθῃ ὁ Αἵμων„. Κατὰ ταῦτα ὁ Κρέων κελεύει τοὺς θεράποντας αὐτοῦ, ὅπως πλησιάσωσιν εἰς τὸν τάφον καὶ διὰ τῆς διαρρωγῆς εἰσδύσωσιν εἰς τὴν ἐσωτερικὴν πύλην τοῦ τάφου. Ὁ* Nauck *ἀντὶ χώματος γράφει χάσματος, διότι κατὰ τοῦτον χῶμα μόνον γεώλοφον δύναται νὰ σημαίνῃ.*

3) *Ἐξαρτᾶται ἐκ τοῦ προηγουμένου ἀθρήσαθ'.*

4) *Τὸ κλέπτεσθαι ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ ἀπατᾶσθαι, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν 681 “εἰ μὴ τὸ χρόνῳ κεκλέμμεθα„·*

5) *Ἐπειδὴ ἡ σύνταξις εἶναι ἀσυνήθης, ὁ* Meineke *νομίζει, ὅτι ἐξέπεσε τοῦ κειμένου στίχος τις. Τοιαύτη ὑπόθεσις δὲν εἶναι ἀναγκαία· διότι τὸ ἐξ ἀθύμου δεσπότου προσδιορίζει τὸ κελεύσμασιν. Ἰσοδυναμεῖ δὲ πρὸς τὸ ἐξ ἀθύμου δεσπότου κελευσθέντες. Ἀντὶ ἐξ ἀθύμου ὁ* Pompe van Meerdervoort *εἰκάζει ὀξυθύμου, ἀλλ' ἐν τῇ προκειμένῃ περιστάσει ὁ Κρέων ἦτο ἄθυμος καὶ οὐχὶ ὀξύθυμος. Ἄλλοι εἰκάζουσιν, ὅτι ἡ ἀρχαία γραφὴ ἦτο κελευσμάτων ἀντὶ κελεύσμασιν..*

6) *Τὸ ῥῆμα κρεμᾶν καὶ τὰ ἔχοντα ὁπωσδήποτε τοιαύτην σημασίαν συντάσσονται αἰτιατικῇ καὶ γενικῇ, ἐξ ὧν ἡ μὲν αἰτιατικὴ σημαίνει τὸ ὅλον, ἡ δὲ γενικὴ τὸ μέρος, Ξενοφ. Κύρ. Ἀναβ. Ι, 6, 10 “μετὰ ταῦτα, κελεύοντος Κύρου, ἐλάβοντο τῆς ζώνης τὸν Ὀρόντην ἐπὶ θανάτῳ ἅπαντες ἀναστάντες καὶ οἱ συγγενεῖς„. Πίνδαρ. ἐν Νεμ. 1, 67 “αὐχένων μάρψας ὄφιας„ Ἰλιάδ. Ω, 515 “γέροντα δὲ χειρὸς ἀνίστη„. Ὡς λοιπὸν τὸ ῥῆμα, οὕτω καὶ τὸ ῥηματικὸν δέχεται γενικήν.*

βρόχῳ μιτώδει σινδόνος[1] καθημμένην[2],
τὸν δ' ἀμφὶ μέσσῃ περιπετῆ[3] προσκείμενον,
εὐνῆς[4] ἀποιμώζοντα τῆς κάτω φθορὰν
καὶ πατρὸς ἔργα καὶ τὸ δύστηνον λέχος[5].
ὁ δ'[6] ὡς ὁρᾷ σφε, στυγνὸν οἰμώξας ἔσω
χωρεῖ πρὸς αὐτὸν κἀνακωκύσας καλεῖ·
ὦ τλῆμον, οἷον ἔργον[7] εἴργασαι ; τίνα
νοῦν ἔσχες ; ἐν τῷ[8] ξυμφορᾶς διεφθάρης ;
ἔξελθε, τέκνον· ἱκέσιός σε λίσσομαι.
τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας ὁ παῖς,
πτύσας προσώπῳ[9] κοὐδὲν ἀντειπών, ξίφους

[1]) *Εἶναι γενικὴ τῆς ὕλης εἰς τὸ β ρ ό χ ῳ.*

[2]) *Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Τὸν τράχηλον δεδεμένην".*

[3]) *Εἶναι κατηγορούμενον εἰς τὸ προσκείμενον. Ἐπειδὴ οἱ θεράποντες εἶδον τὴν Ἀντιγόνην κρεμαμένην (στίχ.* 1221), *ἐπειδὴ ἐν στίχ.* 1240 *αὕτη κεῖται, καὶ ἐπειδὴ περὶ τῆς καταβιβάσεως τοῦ πτώματος οὐδαμοῦ λέγεταί τι, οὐχὶ ἀτόπως εἰκάζεται, ὅτι ἐνταῦθα ὁ μνηστὴρ ἐναγκαλισθεὶς καταβιβάζει τὸ πτῶμα τῆς ἡρωΐδος.*

[4]) *Ἡ ε ὐ ν ὴ καὶ τὸ λ έ χ ο ς οὐχὶ σπανίως λαμβάνονται ἀντὶ τῆς συζύγου, Εὐριπίδ. Ἀνδρομάχ.* 907 *"ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις ; Ἕκτορος ξυνευνέτιν." Ἀποιμώζοντα διὰ τὸν ὄλεθρον τῆς μνηστῆς εὑρισκομένης ἐν τοῖς κάτω.*

[5]) *Ὁ* Meineke *πρότερον μὲν εἴκαζεν, ὅτι πρέπει νὰ διορθωθῇ εἰς λ ά χ ο ς, εἶτα δὲ μεταμεληθεὶς νομίζει, ὅτι ὁ ποιητὴς ἔγραψε τὸ δ ύ σ τ η ν ο ν τ έ λ ο ς. Ποιεῖ δὲ καὶ τρίτην εἰκασίαν, τὸ δύστηνον γένος.*

[6]) *Δηλαδὴ ὁ Κρέων ὁρᾷ τὸν Αἵμονα.*

[7]) *Οὕτως ὀνομάζει τὴν πρᾶξιν τοῦ υἱοῦ, ὅτι εἰσῆλθεν εἰς τὸν τάφον τῆς Ἀντιγόνης.*

[8]) *Ἰσοδυναμεῖ πρὸς τό, ἐ ν τ ί ν ι ξ υ μ φ ο ρ ᾷ ; Οἱ ἀρχαῖοι συνήθως τρέπουσι τὸ μὲν ἐπίθετον εἰς οὐδέτερον γένος, τὸ δὲ οὐσιαστικὸν εἰς γενικήν, ἣν ἐξαρτῶσιν ἐξ ἐκείνου Ἰλιάδ.* Υ, 178 *" τί σὺ τόσσον ὁμίλου πολλὸν ἐπελθὼν ἔστης ; " Ἡρόδοτ.* VIII, 100 *" τὸ πολλὸν τῆς στρατιῆς "* VI. 113 *"τὸ τετριμμένον τῶν βαρβάρων" Σοφοκλ. ἐν Αἴαντ.* 314 *" ἐν τῷ πράγματος κυροῖ ποτε ; ".*

[9]) *Ἐπειδὴ τὸ πτύειν τὸν πατέρα εἰς τὸ πρόσωπον εἶναι ἀπρεπέστατον, ἐπειράθησαν ἔνιοι νὰ ἑρμηνεύσωσι τὸ μὲν πτύσας κατὰ μεταφορικὴν σημασίαν, τὴν δὲ δοτικὴν προσώπῳ ὡς ὀργανικὴν κατὰ τὸν Σχολιαστήν· " Οἷον ἀποστραφεὶς καὶ σκυθρωπάσας, καὶ ἐκ τοῦ προσώπου καταμεμψάμενος. οὐ κυρίως προσπτύσας τῷ πατρί, ὡς καὶ ἡμεῖς ἐν τῇ συνηθείᾳ φαμέν, κατέπτυσεν αὐτοῦ, ὅ ἐστι κα-*

ἕλκει διπλοῦς κνώδοντας[1]· ἐκ δ' ὁρμωμένου
πατρὸς φυγαῖσιν[2] ἤμπλακ'· εἶθ' ὁ δύσμορος
αὑτῷ χολωθείς, ὥσπερ εἶχ', ἐπενταθεὶς[3]
ἤρεισε πλευραῖς μέσσον ἔγχος[4], ἐς δ' ὑγρὸν[5]
ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται·
καὶ φυσιῶν ὀξεῖαν ἐκβάλλει ῥοὴν[6]

ττφρόνησε τῶν λόγων αὐτοῦ„. Τὸ πτύειν ἔχει τοιαύτην σημασίαν, διότι καὶ ἐν τοῖς ἔμπροσθεν στίχ. 653 εἴρηται· “ἀλλὰ πτύσας ὡσεί τε δυσμενῆ μέθες τὴν παῖδ' ἐν Ἅιδου τήνδε νυμφεύειν τινί„. Ἀλλὰ δὲν ἁρμόζει νὰ λάβωμεν τὴν δοτικὴν προσώπῳ ὡς ὀργανικήν. Διὰ τοῦτο πιστεύομεν, ὅτι τὸ ῥῆμα ἐτέθη ἐν τῇ κυρίᾳ σημασίᾳ, ὡς λέγει ὁ Wolff ὑπομιμνήσκων τὴν Ἠλέκτραν παροτρύνουσαν τὸν ἀδελφὸν δὶς νὰ παίσῃ τὴν μητέρα ἐν Ἠλέκτρ. 1415 “Παῖσον, εἰ σθένεις, διπλῆν„. Εἶτα οὐδὲν τὸ παράδοξον, ὅτι οὕτω σφόδρα καταφρονεῖ τοῦ πατρός, ἀφ' οὗ θέλει νὰ φονεύσῃ αὐτόν. Βεβαίως ἡ πρᾶξις τοῦ υἱοῦ πρὸς τὸν πατέρα εἶναι ἀπεχθής, ἀλλ' αὐτὸς ὁ ποιητὴς εἶπεν ἐν στίχ. 790, ὅτι ὁ ἔχων τὸν ἔρωτα γίνεται μανιώδης.

1) Ὁ Σχολιαστὴς τὴν λέξιν ἑρμηνεύει οὑτωσί· “Ἀντὶ τοῦ, διπλᾶς ἀκμάς· ἄμφηκες γὰρ τὸ ξίφος, κνώδων δὲ τὸ ὀξὺ τοῦ ξίφους παρὰ τὸ κναίειν τοῖς ὀδοῦσι„.

2) Ἡ δοτικὴ αὕτη συντακτέα μετὰ τοῦ ὁρμωμένου. Ὁ Αἵμων παράφρων γενόμενος πειρᾶται, ὅπως φονεύσῃ τὸν πατέρα· Τὸ τοιοῦτον εἶδος τῆς πράξεως κακίζει ὁ Ἀριστοτέλης ἐν Ποιητ. Κεφ. 14. Παράβαλλ. Εἰσαγ. σελ. 49.

3) Ὁ Nauck καὶ ἄλλοι ἑρμηνευταὶ ἐννοοῦσι τὴν δοτικὴν ἔ γ χ ε ι, ξ ί φ ε ι, ὅπερ δὲν εἶναι πιθανόν. Ὀρθῶς δὲ παρατηρεῖ ὁ κ. Σεμιτέλος·“ἀλλ' ἡ τοιαύτη ἐκδοχὴ θὰ ἥρμοζεν, ἂν τὸ ξίφος ἦτο ἐστηριγμένον ἐπὶ τῆς γῆς καὶ ὁ Αἵμων ἔπιπτεν ἐπ' αὐτό, οἷον ἐποίησεν ὁ Αἴας αὐτοκτονῶν„· Ἐνταῦθα σημαίνει τεντωθείς.

4) Κατὰ τὸν Σχολιαστήν· “Τὸ ἔγχος οἱ τραγικοὶ καὶ ἐπὶ ξίφους λαμβάνουσιν„.

5) Οἱ ἑρμηνευταὶ διαφωνοῦσιν, ἂν ὁ ἀγκὼν ἀνήκῃ τῷ Αἵμονι ἢ τῇ Ἀντιγόνῃ. Ἀλλὰ τὸ πρῶτον εἶναι πιθανώτερον, διότι ὁ Αἵμων προσεκολλήθη τῇ παρθένῳ λαβὼν αὐτὴν εἰς τὴν ἑαυτοῦ ἀγκάλην. Εἶναι δ' ὅλως ἀπίθανον, ὅτι ὁ Αἵμων ἐνηγκαλίσθη τὸν ἀγκῶνα τῆς μνηστῆς. Κατὰ τὸν Nauck τὸ ὑγρὸν δηλοῖ τὸν ἀσθενῆ, ὡς παρὰ Πλουτάρχ. ἐν βίῳ Κάτ. πρ. 20 “τοῦ ξίφους ἐκκρουσθέντος ὑπὸ πληγῆς καὶ δι' ὑγρότητα τῆς χειρὸς ἐξολισθόντος„. Πιθανώτερον λέγει ὁ Kern, ὅτι εἶναι τὸ ἀντίθετον τοῦ παγείς, ξηρός. Ὁ ποιητὴς σκοπεῖ νὰ δείξῃ, ὅτι ἡ ἀγκάλη δὲν εἶχε ξηρανθῇ ἐκ τοῦ θανάτου.

6) Ἄλλοι γράφουσι πνοήν. Ἡ σύνταξις ἔχει οὑτωσί· ῥοὴν σταλάγματος ἐκβάλλει παρειᾷ παρθένου, Αἰσχύλ. Ἀγαμέμν. 1349 “Κἀκφυσιῶν

λευκῇ παρειᾷ[1] φοινίου σταλάγματος.
κεῖται δὲ νεκρὸς περὶ νεκρῷ, τὰ νυμφικὰ
τέλη[2] λαχὼν δείλαιος εἰν Ἅιδου δόμοις[3],
δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν[4],
ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακόν.

ΧΟΡΟΣ.

Τί τοῦτ' ἂν εἰκάσειας; ἡ γυνὴ πάλιν
φρούδη, πρὶν εἰπεῖν ἐσθλὸν ἢ κακὸν λόγον[5].

ΑΓΓΕΛΟΣ.

Καὐτὸς τεθάμβηκ'· ἐλπίσιν δὲ βόσκομαι[6],
ἄχη τέκνου κλύουσαν ἐς πόλιν γόους
οὐκ ἀξιώσειν[7], ἀλλ' ὑπὸ στέγης ἔσω
δμωαῖς προθήσειν πένθος οἰκεῖον[8] στένειν.

ὀξεῖαν αἵματος σφαγὴν βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου„. Εὐριπίδ. ἐν Ῥήσ. 690 “θερμὸς δὲ κρουνὸς δεσπότου βάλλει με αἵματος νέου„.

[1]) Ἐννοεῖ τὴν παρειὰν τῆς Ἀντιγόνης· εἶναι δὲ τοπικὴ δοτική. Ὁ Σχολιαστὴς γράφει· “Τὴν πνοὴν τοῦ φοινίου σταλάγματος ἐκβάλλει τῇ λευκῇ αὐτῆς παρειᾷ, ὅ ἐστιν αἷμα ἐξέπνευσεν„.

[2]) Ὁ μὲν Σχολιαστὴς λέγει· “Τοὺς γὰρ γαμοῦντας τελείους ἐκάλουν„. ὁ δὲ Πολυδεύκης· “Προτελίζεσθαι δ' ἐλέγοντο οὐ μόνον αἱ νύμφαι, ἀλλὰ καὶ οἱ νυμφίοι, καὶ τέλος ὁ γάμος ἐκαλεῖτο„. Νυμφικὰ τέλη εἶναι ἡ γαμήλιος τελετή.

[3]) Ἐπειδὴ ὁ Αἵμων καὶ ἡ Ἀντιγόνη ἔκειντο παρ' ἀλλήλοις, ὡμοίαζον πρὸς νυμφίους.

[4]) Ἐξαγαγὼν τὸ ὑποκείμενον τῆς ἀναφορικῆς προτάσεως ἔθηκε τοῦτο ἀντικείμενον τῆς δεικτικῆς, ὅπερ γίνεται ἀπειράκις παρὰ τοῖς ἀρχαίοις, Οἰδίπ. ἐπὶ Κολων. 1197 “γνώσει κακοῦ θυμοῦ τελευτήν, ὡς κακὴ προσγίγνεται„. Ὁ ἄγγελος λέγει· γενικῶς, ἀλλ' εἰδικῶς ἐφαρμόζεται εἰς τὸν Κρέοντα, ὅστις ἐγένετο ἀφορμὴ τοῦ θανάτου τοῦ Αἵμονος.

[5]) Ἡ Εὐρυδίκη ἄγαν λυπηθεῖσα σιωπᾷ· διότι ἀπεφάσισε νὰ αὐτοκτονήσῃ.

[6]) Ὁ Σχολιαστὴς ἑρμηνεύει οὑτωσί· “Ἐλπίζω αὐτὴν μὴ βούλεσθαι δημοσίᾳ θρηνεῖν, ἀλλ' ἐν τῷ οἰκήματι μετὰ τῶν θεραπαινίδων„. Παραπλήσιον εἶναι τὸ παρ' Εὐριπίδ. ἐν Φοινίσσ. 396 “αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας„.

[7]) Κατὰ τοὺς ἑρμηνευτὰς ἐκ τῶν ἑπομένων πρέπει νὰ νοηθῇ τὸ στένειν.

[8]) Τοῦτο ἦτο συνηθέστατον τῷ

γνώμης γὰρ οὐκ ἄπειρος[1]*, ὥσθ' ἁμαρτάνειν.*

ΧΟΡΟΣ.

Οὐκ οἶδ'· ἐμοὶ δ'[2] *οὖν ἥ τ' ἄγαν σιγὴ βαρὺ*
δοκεῖ προσεῖναι χἠ μάτην πολλὴ βοή[3].

ΑΓΓΕΛΟΣ.

'Αλλ' εἰσόμεσθα, μή τι καὶ κατάσχετον[4]
κρυφῇ καλύπτει[5] *καρδίᾳ θυμουμένῃ,*
δόμους παραστείχοντες[6]*. εὖ γὰρ οὖν λέγεις·*
καὶ τῆς ἄγαν γάρ ἐστί που[7] *σιγῆς βάρος.*

ΧΟΡΟΣ.

Καὶ μὴν[8] *ὅδ' ἄναξ αὐτὸς ἐφήκει*

ἡρωϊκῷ αἰῶνι καὶ νῦν ἔτι ἐν ταῖς ἑλληνικωτέραις τῶν χωρῶν γίνεται. 'Ο δὲ Ὅμηρος λέγει Ἰλιάδ. Ζ, 499 "*κιχήσατο δ' ἔνδοθι πολλὰς ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν· αἱ μὲν ἔτι ζωὸν γόον Ἕκτορα ᾧ ἐνὶ οἴκῳ· οὐ γάρ μιν ἔτ' ἔφαντο ὑπότροπον ἐκ πολέμοιο*".

[1]) *'Ο* Meineke *θεωρεῖ τὸν στίχον τοῦτον ὡς ὑποβεβλημένον ὑπό τινος ἔχοντος ὑπ' ὄψει τὸν προηγούμενον στίχον* 1191 "*κακοῦ γὰρ οὐκ ἄπειρος οὖσ' ἀκούσομαι*". *'Αλλ', ὡς παρατηρεῖ, διαφέρει τὸ κακῶν ἄπειρος τοῦ γνώμης ἄπειρος, ὅπερ δύναται νὰ λεχθῇ περί τινος μηδόλως ποιουμένου χρῆσιν τῆς αὐτοῦ διανοίας. 'Αλλ' ἂν ἐγένετο ὑποβολή, αὕτη εἶναι λίαν ἀρχαία· διότι καὶ ὁ Σχολιαστὴς καὶ ὁ Τρικλίνιος γινώσκουσι τὸν στίχον· ὁ μὲν πρῶτος λέγει·* "*Οὐκ ἀνόητος, φησίν, ὑπάρχει, ὥστε δημοσίᾳ ὀδύρεσθαι. Ἁμαρτάνειν δὲ λέγει νῦν τὸ ἐμφανῶς θρηνεῖν*", *ὁ δὲ Τρικλίνιος·* "*'Ανοίκεια ἑαυτῇ ἔργα ποιεῖν· λέγω δὴ τὸ δρᾶσαί τι περὶ αὐτὴν δυσχερὲς ἐπὶ τῷ παραδόξῳ τῆς τοῦ παιδὸς συμφορᾶς ἀκούσματι*". *Κατὰ τὸν* Nauck *ἀντὶ τοῦ ἄπειρος ἔπρεπε νὰ ὑπάρχῃ ἄμοιρος, ὡς γράφει ὁ* Blaydes.

[2]) *Πιθανῶς νὰ εἰκάζῃς ὀρθῶς, εἰς ἐμὲ ὅμως φαίνεται ἄλλως τὸ πρᾶγμα.*

[3]) *Καὶ ἡ ἄκρα σιγὴ καὶ αἱ ματαίως γινόμεναι φωνασκίαι μαρτυροῦσι βαθεῖαν λύπην· διότι τὰ ἄκρα συνέχονται.*

[4]) *'Ο Σχολιαστὴς ἑρμηνεύει·* "*'Αλλ' ἔσω ἀπελθόντες μαθησόμεθα, μή τι καὶ μανιῶδες κρύφα βουλεύεται, ἀνελεῖν ἑαυτὴν πειρωμένη*".

[5]) *Τὸ μὴ φέρεται καὶ πρὸς ὁριστικήν, ὡς ἐν στίχ.* 632 *καὶ ἐν 'Ηλέκτρ.* 581 ".

[6]) *Εἰσελθόντες εἰς τοὺς οἴκους, ὡς παρ' Αἰσχύλ. ἐν Χοηφ·* 568 "*δόμους παραστείχοντα*".

[7]) *Κατὰ τὸν* Nauck *ὁ στίχος οὗτος περιέχει ἐπανάληψιν ἐκ τοῦ στίχ.* 1251 *καὶ τὸ που εἶναι περιττόν.*

[8]) *Εἰς τὴν σκηνὴν εἰσέρχεται ὁ Κρέων καὶ οἱ θεράποντες αὐτοῦ ἔχοντες ἐν χερσὶ τὸ πτῶμα τοῦ Αἵμο-*

μνῆμ'[1] *ἐπίσημον διὰ χειρὸς ἔχων,*
εἰ θέμις εἰπεῖν[2], *οὐκ ἀλλοτρίαν*
ἄτην[3], *ἀλλ' αὐτὸς*[4] *ἁμαρτών.*

ΚΡΕΩΝ.

'Ιὼ
φρενῶν δυσφρόνων[5] *ἁμαρτήματα*
στερεά, θανατόεντ'[6]· *ὦ κτανόντας τε καὶ*
θανόντας βλέποντες ἐμφυλίους[7].
ὤ μοι ἐμῶν ἄνολβα βουλευμάτων.
ἰὼ παῖ, νέος νέῳ ξὺν μόρῳ[8],
αἰαῖ, αἰαῖ,
ἔθανες, ἀπελύθης[9] *ἐμαῖς, οὐδὲ σαῖσι δυσβουλίαις.*

νος. 'Αντὶ ὑποκριτοῦ ὑπῆρχε τὸ εἴδωλον τοῦ νεκροῦ, ὡς ἐν τῷ Αἴαντι.

[1]) *Οὕτως ὀνομάζει τὸ πτῶμα τοῦ Αἵμονος. 'Εν τῷ πτώματι τοῦ υἱοῦ ὑπάρχει φανερὸν σημεῖον, ὅτι αὐτὸς ἥμαρτεν*

[2]) *'Ο χορὸς οἱονεὶ αἰτεῖ συγγνώμην διὰ τὴν ἑπομένην αὐστηρὰν κρίσιν.*

[3]) *Εἶναι παράθεσις εἰς τὸ μνῆμα. 'Απλούστερον ἠδύνατο νὰ εἴπῃ ὁ ποιητής, μνῆμα οὐκ ἀλλοτρίας ἄτας.*

[4]) *Τὸ αὐτὸς ποιεῖ ἀντίθεσιν πρὸς τὸ ἀλλοτρίαν, Εὐριπίδ. 'Ορέστ.* 638 “*οὐκ ἐξαμαρτὼν αὐτός, ἀλλ' ἁμαρτίαν τῆς σῆς γυναικὸς ἀδικίαν τ' ἰώμενος*„. *Περιεμένομεν τὴν σύνταξιν, ἀλλ' οἰκεῖον ἁμάρτημα, ἀλλὰ μετέβαλε τὴν σύνταξιν.*

[5]) *Τὸ ἐπίθετον ἀναιρεῖ τὴν ἔννοιαν τοῦ οὐσιαστικοῦ, ὡς ἄδωρα δῶρα ἐν Αἴαντ.* 665. *ἄγαμος γάμος ἐν Οἰδίπ. τυράνν.* 1214. *μήτηρ, ἀμήτωρ ἐν 'Ηλέκτρ.* 1154, *δηλ. φρένες, αἱ ὁποῖαι εἶναι κακαί, ἤτοι οὐδόλως ὑπάρχουσιν. Τὰ ἁμαρτήματα λέγει στερεὰ ὡς προελθόντα ἐξ ἰσχυρογνωμοσύνης. Εἶναι ἐναλλαγὴ ἐπιθέτου· διότι τὸ ἐπίθετον ἥρμοζε νὰ συνδεθῇ ταῖς φρεσὶ καὶ οὐχὶ τοῖς ἁμαρτήμασιν.*

[6]) *'Ο Σχολιαστὴς ἑρμηνεύει “Θανάτου ἄξια, ἢ θανάτου αἴτια*„

[7]) *'Η προσφώνησις αὕτη, ἥτις ἐγένετο ἄνευ ῥήματος, ἀπευθύνεται πρὸς τὸν χορόν.*

[8]) *Κατὰ τὸν Σχολιαστήν· “ἡ νέᾳ ἡλικίᾳ καὶ καινοπρεπεῖ θανάτῳ τετελεύτηκας*„. *Νομίζομεν, ὅτι πιθανώτερον ἐξηγοῦσιν οἱ νεώτεροι διὰ τοῦ προώρῳ θανάτῳ. Διότι ἡ αὐτοκτονία δὲν εἶναι τρόπος καινὸς θανάτου. Εἶναι ἀληθές, ὅτι ὁ νέος θνήσκων θνήσκει προώρως, ἀλλ' ἡ ταὐτολογία ἐν ταῖς τοιαύταις παραθέσεσιν εἶναι συνήθης.*

[9]) *'Απηλλάγης τῆς ζωῆς. Οἱ ἀρχαῖοι μετεχειρίζοντο τὸ ἀπολύεσθαι ἐν τῇ σημασίᾳ τοῦ θνήσκειν, Πλούταρχ. ἐν ἀποσπάσμ.* Wyttenb. *σελ* 135 “*'Απολύεσθαι γὰρ τὸν ἀποθνή-*

ΧΟΡΟΣ.

Οἴμ', ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν.

ΚΡΕΩΝ.

Οἴμοι,
ἔχω μαθὼν[1] δείλαιος· ἐν δ' ἐμῷ κάρᾳ[2]
θεὸς τότ'[3] ἄρα τότε μέγα βάρος μ' ἔχων
ἔπαισεν, ἐν δ' ἔσεισεν ἀγρίαις ὁδοῖς[4],
οἴμοι, λακπάτητον[5] ἀντρέπων χαράν.
φεῦ φεῦ, ὦ πόνοι βροτῶν δύσπονοι.

ΕΞΑΓΓΕΛΟΣ·

Ὦ δέσποθ', ὡς ἔχων τε καὶ κεκτημένος[6],
τὰ μὲν πρὸ χειρῶν τάδε φέρων, τὰ δ' ἐν δόμοις
ἔοικας ἥκειν καὶ τάχ' ὄψεσθαι[7] κακά.

σκοντα καὶ τὸν θάνατον ἀπόλυσιν καλοῦσιν„. Ὅρα καὶ Εὐστάθ. σελ. 548.

1) Δηλαδὴ ὅτι βραδέως ἐγνώρισα τὸ δίκαιον.

2) Ἡ σύνταξις ἔχει οὑτωσί· θεὸς ἔπαισέ με ἐν κάρᾳ, ἔχων μέγα βάρος.

3) Ἐννοεῖ τὸν χρόνον, καθ' ὃν ἐξέδιδε τὸ κήρυγμα. Ἔθηκε τὸ ἄρα, ὅπως δείξῃ, ὅτι νῦν ἀναγνωρίζει τοῦτο.

4) Κατὰ τὸν Nauck ἐννοεῖται ἡ γενικὴ βουλευμάτων.

5) Τὸ ἐπίθετον ἐγένετο κατὰ τὰς ὁμηρικὰς φράσεις, λὰξ ποδὶ κινῆσαι, ἐν στήθεσι βῆναι. Ὁ Εὐστάθιος παρατηρεῖ ἐν Ἰλιάδ. Ζ. σελ. 625 "ὅρα δέ, ὅτι λὰξ ἐμβῆναι λέγει τοῖς στήθεσι τὸ ποδὶ πατῆσαι εἰς τὸ στῆθος, ἐξ οὗ παρὰ Σοφοκλεῖ τὸ λαξπάτητον ἀντρέπων χαράν, ὅτινες λακπάτητον διὰ τοῦ κ γράφουσιν„. Ὁ αὐτὸς ἐν Ἰλιάδ. Κ. σελ. 796 "τὸ λὰξ κινήσας παρήγαγεν ἐν τῇ τραγῳδίᾳ τὸ λαξπάτητον, ὡς ταὐτὸν ὂν εἰπεῖν λὰξ κινῆσαι καὶ λὰξ πατῆσαι„. Ἡ ἀποκοπὴ τῶν προθέσεων δὲν εἶναι σπανία παρὰ τῷ Σοφοκλεῖ, ὡς ἄμβασις ἐν Οἰδίποδ. ἐπὶ Κολων. 1070, ἀμπνοὰς ἐν Αἴαντ. 416, ἄμμιγα ἐν Τραχ. 838.

6) Ὁ ἄγγελος, ὅστις εἶχεν εἰσέλθει εἰς τὰ ἀνάκτορα ἐν στίχ. 1256, ἐξελθὼν ἀγγέλλει τὸν θάνατον τῆς Εὐρυδίκης. Ἐννοητέον τὸ ἀντικείμενον κακά, δηλ. ὡς κάτοχος καὶ κτήτωρ τῶν κακῶν.

7) Κατὰ τὸν Bellermann ἡ ὁμαλὴ σύνταξις ἤθελεν ἔχει οὑτωσί· ἔοικας ἥκειν ὡς ἔχων τε καὶ κετημένος κακά, τὰ μὲν φέρων, τὰ δὲ τάχα ὀψόμενος. Ἐπειδὴ ὅμως τὸ ἔοικας ἥκειν ἐτέθη ἐν τῇ δευτέρᾳ προτάσει, ἡ μετοχὴ ὀψόμενος ἀφωμοιώθη πρὸς τὸ

ΚΡΕΩΝ.

Τί δ' ἔστιν;[1] *ἦ κάκιον αὖ κακῶν ἔτι;*[2]

ΕΞΑΓΓΕΛΟΣ.

Γυνὴ τέθνηκεν τοῦδε παμμήτωρ[3] *νεκροῦ,*
δύστηνος, ἄρτι[4] *νεοτόμοισι πλήγμασιν.*

Ἀντιστροφὴ ά.

ΚΡΕΩΝ

Ἰὼ
ἰὼ δυσκάθαρτος[5] *Ἅιδου λιμήν*[6]*,*

ἥκειν καὶ συνεδέθη μετὰ τούτου διὰ τοῦ καί. Οὕτω τὸ σχῆμα εἶναι ἀνακόλουθον. Κατὰ τὸν Nauck *ὅμως ὁ καὶ δὲν συνδέει τὰ δύο ἀπαρέμφατα, ἀλλ' ἀνήκει εἰς τὸ τάχα, ὡς ἐν ταῖς φράσεσι καὶ λίην, καὶ πάνυ, καὶ μάλα. Κατὰ τὴν σύνταξιν ταύτην ἐξηγεῖ· φαίνεται ὅτι ἦλθες μόνον, ἵνα νέον κακὸν ἴδῃς.*

1) *Ἐδεξάμεθα τὴν διόρθωσιν τοῦ* Pflugk· *ἡ ἀρχαία γραφὴ ἦτο, τί δ' ἔστιν αὖ κάκιον ἢ κακῶν ἔτι; Ταύτην διατηρῶν ὁ* Boeckh *ἐξηγεῖ τί χειρότερον εἶναι πάλιν, ἢ τί τῶν κακῶν ἔτι ὑπολείπεται; δηλ. μετὰ τηλικοῦτον κακὸν δὲν δύναται νὰ ὑπάρξῃ ἄλλο δυνάμενον νὰ ὀνομασθῇ κακόν.*

2) *Ἡ φράσις αὕτη εἶχε περιπέσει εἰς παρομίαν, Αἰσχύλ. Ἀγαμέμν.* 864 *"κακοῦ κάκιον ἄλλο πῆμα." Εὐριπίδ. Ἑκάβ.* 233 *"κακῶν κάκ' ἄλλα μείζονα" ἐν Τρῳάσ "* 720 *"οἴμοι, κακῶν τόδ' ὡς κλύω μεῖζον κακόν".*

3) *Ὁ Σχολιαστὴς παρατηρεῖ· "Παμμήτωρ, ἡ κατὰ πάντα μήτηρ· ἐμφαντικῶς δὲ εἶπεν, ὅτι καὶ μέχρι θανάτου μήτηρ ἐδείχθη, μὴ ἑλομένη ζῆν μετὰ τὸν τοῦ παιδὸς θάνατον". Τὴν ἑρμηνείαν ταύτην δέχονται καί τινες τῶν νεωτέρων, ὡς ὁ* Bellermann, *ὅστις παρατηρεῖ, ὅτι τὸ παμμήτωρ εἶναι τὸ ἀντίθετον τοῦ μήτηρ ἀμήτωρ. Ὁ* Nauck *θεωρῶν τὸ χωρίον διεφθαρμένον λέγει, ὅτι πιθανῶς ὁ Σοφοκλῆς ἔγραψε· γυνὴ τέθνηχ' ἡ τοῦδε γεννήτωρ νεκροῦ. Ὁ* Meineke *προτιμᾷ νὰ γράψῃ παμμήστωρ. Ἂν ἦτο ἀνάγκη διορθώσεως, ἴσως ἠδύνατο νὰ προτιμηθῇ ἡ τοῦ κ. Πάλλη· μήτηρ τέθνηκεν τοῦδε παμμόρου νεκροῦ.*

4) *Τὸ ἄρτι προσδιορίζει τὸ νεοτόμοισι, νεωστὶ τμηθεῖσιν, ὡς καὶ ἐν Αἴαντ.* 898 *"Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς κεῖται".*

5 *Ὁ λιμὴν τοῦ Ἅιδου ὀνομάζεται δυσκάθαρτος, διότι δυσκόλως ἐξιλεοῦται. Ὁ Κρέων ἐπίστευσεν, ὅτι διὰ τῆς ἑαυτοῦ μετανοίας ἤθελεν ἐπέλθει κάθαρσις.*

6) *Ὁ Σωτάδης παρὰ Στοβαίῳ Ἀνθολογ.* 120, 11 *λέγει "πάντων λιμὴν τῶν μερόπων ὁ θάνατός ἐστιν". Προσφυῶς δ' ὁ θάνατος λέγεται λι-*

τί μ' ἄρα, τί μ' ὀλέκεις[1]; ὦ κακάγγελτά μοι[2],
προπέμψας ἄχη, τίνα θροεῖς λόγον;
αἰαῖ, ὀλωλότ' ἄνδρ' ἐπεξειργάσω[3].
τί φής, ὦ παῖ; τίνα λέγεις μοι νέον[4],
αἰαῖ αἰαῖ,
σφάγιον ἐπ' ὀλέθρῳ[5] γυναικεῖον ἀμφικεῖσθαι μόρον;

ΕΞΑΓΓΕΛΟΣ.

Ὁρᾶν πάρεστιν[6]· οὐ γὰρ ἐν μυχοῖς ἔτι.

ΚΡΕΩΝ

Οἴμοι,
κακὸν τόδ' ἄλλο δεύτερον βλέπω τάλας.
τίς ἄρα, τίς με πότμος ἔτι περιμένει;
ἔχω μὲν[7] ἐν χείρεσσιν ἀρτίως τέκνον,

μήν, διότι πάντες οἱ ἄνθρωποι ἐκ τοῦ πελάγους τοῦ βίου ἐνταῦθα κατάγονται.

1) *Τὴν φράσιν ὁ Κρέων λέγει μετὰ μεγάλου ψυχικοῦ πάθους.*

2) *Ὦ προξενήσας λύπας διὰ κακῆς ἀγγελίας.*

3) *Καὶ ἄνευ τοῦ θανάτου τῆς γυναικὸς θεωρεῖ ὁ Κρέων ἑαυτὸν νεκρόν, ὃν ἐπικτείνει ὁ Ἐξάγγελος. Ὁ ποιητὴς θέλει νὰ ποιήσῃ ὑπαινιγμόν τινα πρὸς τὸ ὑπὸ τοῦ Τειρεσίου εἰρημένον ἐν στίχ.* 1030 *"τίς ἀλκὴ τὸν θανόντ' ἐπικτανεῖν;" Ὑπὸ τοῦ Σχολιαστοῦ ἐξηγεῖται διὰ τοῦ ἐπέσφαξας.*

4) *Ἡ σύνταξις ἔχει οὑτωσί· τίνα λέγεις νέον σφάγιον μόρον ἀμφικεῖσθαί μοι ἐπ' ὀλέθρῳ. Ὀνομάζει τὸν μόρον σφάγιον ὡς προελθόντα ἐκ σφαγῆς.*

5) *Πρὸς ὄλεθρόν μου, ὡς παρ' Ἡροδότ.* I, 68 *"ἐπὶ κακῷ ἀνθρώπου σίδηρος ἀνεύρηται". Κεῖται τὸ ἐπίθετον γυναικεῖον ἀντὶ τῆς γενικῆς γυναικός, ὅπερ συνήθως γίνεται ἐν τοῖς κυρίοις ὀνόμασιν, ὡς Τελαμώνιος υἱός, Νεστορέῃ παρὰ νηΐ.*

6) *Ενταῦθα ἄγεται τὸ πτῶμα τῆς Εὐρυδίκης εἰς τὴν σκηνήν. Πλεῖστοι ἑρμηνευταὶ νομίζουσιν, ὅτι ἀνοιχθείσης τῆς μέσης θύρας δείκνυται τὸ πτῶμα τῆς Εὐρυδίκης, ὡς εἶχεν ἐν τοῖς ἀνακτόροις. Τοιαύτην γνώμην ἔχει ὁ κ. Σεμιτέλος· διότι "ἡ φράσις ἐν στ.* 1298 *ἔναντα προσβλέπω μᾶλλον φαίνεται δηλοῦσα, ὅτι ὁ νεκρὸς τῆς Εὐρυδίκης ἔκειτο πορρωτέρω καὶ ἐξεκυκλήθη παρὰ τὸν ἕτερον νεκρόν". Νομίζομεν, ὅτι τὸ ἔναντα δὲν ὑποδηλοῖ οὔτε τὸ ἐγγὺς οὔτε τὸ πόρρω. Ὅτι δὲ τὸ πτῶμα τῆς Εὐρυδίκης δὲν ἔκειτο ἐν τοῖς μυχοῖς τῶν ἀνακτόρων, μαρτυρεῖ ἡ ἑπομένη φράσις· οὐ γὰρ ἐν μυχοῖς ἔτι.*

7) *Ὁμαλῶς ἔπρεπε νὰ εἴπῃ ἔχω*

τάλας, τὸν δ' ἔναντα προσβλέπω νεκρόν.
φεῦ φεῦ μᾶτερ[1] ἀθλία, φεῦ τέκνον.

ΑΓΓΕΛΟΣ.

Ἡ δ'[2] ὀξύθηκτος[3] ἥδε βωμία πέριξ
λύει[4] κελαινὰ βλέφαρα, κωκύσασα μὲν
τοῦ πρὶν θανόντος Μεγαρέως[5] κλεινὸν λάχος[6],

μὲν — προσβλέπω δέ, ἀλλ' εἰς τὸ δεύτερον μέρος ἔτρεψεν ἄλλως τὴν σύνταξιν.

[1]) *Τοῦτο λέγεται ὡς ἐκ μέρους τοῦ Αἵμονος. Εἰς τὸ τέκνον ἐννοεῖται τὸ ἐπίθετον ἄθλιον.*

[2]) *Μεταχειρίζεται τὸ ἡ δέ, διότι προηγεῖται τὸ τέκνον, ὡσεὶ ἔλεγε τὸ μὲν τέκνον οὕτως, ἡ δὲ μήτηρ οὕτως.*

[3]) *Ὁ Σχολιαστὴς ἑρμηνεύει· "Ὀξεῖαν λαβοῦσα πληγὴν ὡς ἱερεῖον περὶ τὸν βωμὸν ἐσφάγη παρὰ τὸν βωμὸν προπετής". Ἄλλοι ἑρμηνεύουσι τὸ ἐπίθετον μεταφορικῶς· σφόδρα ἐρεθισθεῖσα, εἰς ἀπελπισμὸν ἐλθοῦσα, Εὐριπίδ. ἐν Ἱππ.* 689 *"οὗτος ὀργῇ συντεθηγμένος" Αἰσχυλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ.* 696 *"τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ". Καὶ τὸ ἥδε εἶναι δυσνόητον ἐνταῦθα, διότι σημαίνει, ὅτι ταύτην τὴν στιγμὴν θνήσκει ἡ Εὐρυδίκη, ὅπερ δὲν εἶναι ἀκριβές* Ἐπειδὴ *δὲ καὶ τὸ ἑπόμενον β ω μ ί α π έ ρ ι ξ παρέχει δυσκολίαν, ὁ* Arndt *διώρθωσε τὸν ὅλον στίχον εἰς, ἣ δ' ὀ ξ υ θ ή κ τ ῳ β ω μ ί α π ε ρ ὶ ξ ί φ ε ι.*

[4]) *Κατὰ τὸν* Nauck *λ ύ ε ι ν β λ έ φ α ρ α δυσκόλως δύναται νὰ ἔχῃ ἄλλην σημασίαν ἢ ἀνοίγειν τοὺς ὀφθαλμούς, ὅπερ δὲν ἁρμόζει εἰς τὴν θνήσκουσαν Εὐρυδίκην. Διὰ τοῦτο ὁ* Wieseler *ἐπιθυμεῖ νὰ γραφῇ μ ύ ε ι ἢ κ λ ή ε ι Ἀλλ' ἡ φράσις ἐγένετο κατὰ τὸ ὁμηρικὸν λύειν γυῖα, γούνατα, Ἀνθολογ. Παλ. III,* 11 *"ἀνθ' ὧν ὄμματ' ἔλυσε τὰ Γοργόνος ἐνθάδε Περσεὺς" Εὐριπίδ. Ἀλκ.* 385 *"καὶ μὴν σκοτεινὸν ὄμμα μου βαρύνεται". Κατὰ τὸν* Bellermann *τὸ κελαινὰ εἶναι κατὰ πρόληψιν. Ἥρμοζε δ' ὅμως μᾶλλον νὰ ἦναι σκοτεινά.*

[5]) *Μέχρι τῶν χρόνων τοῦ Παυσανίου ἐδεικνύετο ὁ τάφος τοῦ Μεγαρέως, Παυσαν. IX,* 25 *"Θηβαίοις δὲ τῶν πυλῶν ἐστιν ἐγγύτατα τῶν Νηΐτέων Μενοικέως μνῆμα τοῦ Κρέοντος· ἀπέκτεινε δὲ ἑκουσίως αὐτὸν κατὰ τὸ μάντευμα τὸ ἐκ Δελφῶν, ἡνίκα Πολυνείκης καὶ ὁ σὺν αὐτῷ στρατὸς ἀφίκοντο ἐξ Ἄργους· τοῦ δὲ Μενοικέως ἐπιπέφυκε ῥοιὰ τῷ μνήματι". Κατὰ τόδε τὸ δρᾶμα καὶ κατὰ τὰς Φοινίσσας τοῦ Εὐριπίδου τὸ μάντευμα οὐχὶ οἱ Δελφοί, ἀλλ' ὁ Τειρεσίας ἔδωκεν. Ὅτε ἐπλησίαζον οἱ Ἀργεῖοι εἰς τὴν πόλιν, ὁ Τειρεσίας ἐμαντεύσατο, ὅτι ὁ Ἄρης εἶναι ὠργισμένος ἕνεκα τοῦ ὑπὸ τοῦ Κάδμου φονευθέντος δράκοντος καὶ ὅτι εἶναι ἀνάγκη νὰ ἐξιλεωθῇ ὁ θεὸς οὗτος διὰ τοῦ αἵματος ἑνὸς τῶν ἀπογόνων τῶν σπαρτῶν, οἷος ἦτο ὁ Μεγαρεύς, ὅστις σφάξας ἑαυτὸν ἐπί τινος πύργου κατέπεσεν ἐκ τῶν ἐπάλξεων εἰς τὴν φωλεὰν τοῦ δράκοντος.*

[6]) *Ἡ ἀρχαία γραφὴ ἦτο λέχος, ὅπερ δὲν ἁρμόζει ἐνταῦθα. Τὴν με-*

αὖθις δὲ τοῦδε· λοίσθιον δὲ σοὶ κακὰς
πράξεις ἐφυμνήσασα[1] τῷ παιδοκτόνῳ.

ΚΡΕΩΝ.

Αἰαῖ, αἰαῖ,
ἀνέπταν[2] φόβῳ. τί μ' οὐκ ἀνταίαν[3]
ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει;
δείλαιος ἐγώ, φεῦ φεῦ,
δειλαίᾳ δὲ συγκέκραμαι δύᾳ[4].

ΕΞΑΓΓΕΛΟΣ.

Ὡς αἰτίαν γε τῶνδε[5] κἀκείνων ἔχων

ταβολὴν τοῦ λέχος ἐποίησεν ὁ Bothe, ἣν ἐδεξάμεθα. Ὀνομάζει δὲ τὴν μοῖραν τοῦ Μεγαρέως ἔνδοξον, διότι προσηνέχθη θυσία ὑπὲρ πατρίδος. Ὁ θεράπων ὀνομάζει τὸ λάχος τοῦ Μεγαρέως κλεινὸν κατὰ τὴν γνώμην ἑαυτοῦ καὶ τῶν Θηβαίων, οὐχὶ δὲ τῆς Εὐρυδίκης, ἥτις δὲν ἤθελε τὸν θάνατον τοῦ υἱοῦ.

[1]) Ἐνταῦθα ἔχει τὴν σημασίαν τοῦ καταρᾶσθαι. Κατὰ τοὺς πλείστους ἑρμηνευτὰς τὸ κακὰς πράξεις ἐφύμνησεν ἰσοδυναμεῖ τῷ κακῶς πράττειν σοι ἐφύμνησεν.

[2]) Τὸ ῥῆμα λέγεται καὶ ἐπὶ χαρᾶς καὶ ἐπὶ λύπης καὶ ἐπὶ φόβου καὶ ἐπὶ ἐλπίδος, ἐν Αἴαντ. 692 "ἔφριξ' ἔρωτι, περιχαρὴς δ' ἀνεπτάμαν" Εὐριπίδ. Ἑλέν. 632 "γέγηθα, κρατὶ δ' ὀρθίους ἐθείρας ἀνεπτέρωκα". Ἀπολλ. Ῥοδ. III, 724 "ἀνέπτατο χάρματι θυμὸς" Οἰδίπ. τύραννν. 486 "πέτομαι δ' ἐλπίσιν οὔτ' ἐνθάδ' ὁρῶν οὔτ' ὀπίσω". Ὅρα, ὅτι ἔθηκεν ἀόριστον ἀντὶ ἐνεστῶτος, ὅπερ σύνηθες τοῖς ἀρχαίοις ἐν τοιαύταις ψυχικαῖς διαθέσεσιν.

[3]) Ἐννοεῖται ἡ αἰτιατικὴ πληγήν, Αἰσχύλ. ἐν Ἑπτὰ ἐπὶ Θήβ. 870 "διανταίαν πεπλαγμένους" ἐν Χοηφ. 638 "ξίφος διανταίαν οὐτᾷ". Εὐριπίδ. ἐν Ἴων. 767 "διανταῖος ἔτυπεν ὀδύνα με πλευμόνων τῶνδ' ἔσω".

[4]) Δύη εἶναι ἡ ταλαιπωρία, δυστυχία· συγκέκραμαι δύᾳ = ἐγενόμην δυστυχής. Τὸ τοιοῦτον εἶδος τῆς περιφράσεως εὑρίσκεται πολλαχοῦ, ὡς ἐν Αἴαντ. 895 "οἴκτῳ τῷδε συγκεκραμένην". καὶ 123 "ὁθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ", ἐν Ἠλέκτρ. 1485 "τί γὰρ βροτῶν ἂν σὺν κακοῖς μεμιγμένων θνῄσκειν ὁ μέλλων τοῦ χρόνου κέρδος φέροι;" Ἀριστοφάν. ἐν Πλούτ. 854 "πολυφόρῳ συγκέκραμαι δαίμονι".

[5]) Οὗδε οἱ μόροι εἶναι ὁ θάνατος τοῦ Αἵμονος, ἐκεῖνοι δὲ ὁ τοῦ Μεγαρέως. Κατὰ τὸν Schmelzer διὰ τῆς πρώτης ἀντωνυμίας ἐννοεῖται ὁ θάνατος οὐ μόνον τοῦ Αἵμονος, ἀλλὰ καὶ ὁ τῆς Ἀντιγόνης.

πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου[1] μόρων.

ΚΡΕΩΝ.

Ποίῳ δὲ κἀπελύσατ'[2] ἐν φοναῖς τρόπῳ;

ΕΞΑΓΓΕΛΟΣ.

Παίσασ' ὑφ' ἧπαρ αὐτόχειρ αὑτήν, ὅπως[3]
παιδὸς τόδ' ᾔσθετ' ὀξυκώκυτον πάθος.

ΚΡΕΩΝ.

Ὤ μοί μοι, τάδ' οὐκ ἐπ' ἄλλον βροτῶν
ἐμᾶς ἁρμόσει ποτ' ἐξ αἰτίας[4].
ἐγὼ γάρ σ' ἐγὼ ἔκανον, ὦ μέλεος,
ἐγώ, φάμ' ἔτυμον, ἰὼ πρόσπολοι,
προσπολοῦντες[5] ἄγετέ μ' ὅ τι τάχος, ἄγετέ μ' ἐκ-
ποδών[6],
τὸν οὐκ ὄντα μᾶλλον ἢ μηδένα[7].

[1]) Ἐπισκήπτω σημαίνει ἐπιφέρω ἢ ἐπάγω τὴν αἰτίαν τινί. Τὴν σημασίαν ταύτην ἔχει οὐ μόνον τὸ ἐνεργητικόν, ἀλλὰ καὶ τὸ μέσον. Τὸ παθητικὸν εὕρηται οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ παρὰ Πλάτ. ἐν Νόμ. 937 Β "ἐὰν δούλη ἐπισκηφθῇ τὰ ψευδῆ μαρτυρῆσαι „.

[2] Κατὰ τὸν Σχολιαστήν· "Τίνι τρόπῳ, φησίν, ἐλύετο καὶ ἐφέρετο εἰς φονάς ; ἀντὶ τοῦ ποίῳ τρόπῳ εἰς φόνον ἔπεσεν ;„ Ὁ δὲ Εὐστάθιος παρατηρεῖ ἐν σελ. 548, 42 "ἰστέον δέ, ὅτι ἐξ Ὁμήρου λαβόντες οἱ ὕστερον καὶ αὐτὸ δὴ μόνον τὸ λυθῆναι ἀντὶ τοῦ θανεῖν ἔφρασαν· ὡς δηλοῖ καὶ Σοφοκλῆς ἐν τῷ ἔθανες, ἀπελύθης καὶ ἐν τῷ ποίῳ ἀπελύσατο τρόπῳ„. Ὁ Κρέων ἐπιθυμεῖ νὰ μάθῃ ἀκριβέστερα περὶ τοῦ τρόπου τοῦ θανάτου τῆς γυναικός.

[3]) Ἔχει χρονικὴν σημασίαν, ὡς καὶ ἐν στίχ. 407.

[4]) Ἁπλούστερον ἠδύνατο ὁ ποιητὴς νὰ εἴπῃ· ταῦτα, ὧν ἐγὼ αἴτιος, οὐκ ἐπ' ἄλλον βροτῶν ἁρμόσει ποτέ, δηλ. ἡ αἰτία τούτων τῶν πράξεων οὐδέποτε θέλει ἀφαιρεθῇ ἀπὸ σὲ καὶ ἀποδοθῇ εἰς ἄλλον.

[5]) Οὕτω γράφουσιν ὁ Böckh καὶ ὁ Jacob, ἐν ᾧ οἱ πλεῖστοι τῶν ἐκδοτῶν ἔχουσι πρόσπολοι.

[6]) Ὁμοίως ὁ Οἰδίπους λέγει ἐν Οἰδίπ. τυράνν. 1340 "ἀπάγετ' ἐκτόπιον ὅ τι τάχιστά με, ἀπάγετ', ὦ φίλοι, τὸν μέγ' ὀλέθριον„ Παράβαλλ. καὶ 1410. Οὐ μόνον αἱ ψυχικαί, ἀλλὰ καὶ αἱ σωματικαὶ δυνάμεις τοῦ Κρέοντος κατεβλήθησαν.

[7]) Δηλαδὴ τὸν μᾶλλον οὐκ ὄντα ἢ μηδένα ὄντα, Οἰδίπ. τύραννν. 1019 "καὶ πῶς ὁ φύσας ἐξ ἴσου τῷ μη-

ΧΟΡΟΣ.

Κέρδη[1] παραινεῖς, εἴ τι κέρδος ἐν κακοῖς·
Βράχιστα γὰρ κράτιστα τἀν ποσὶν κακά[2].

Ἀντιστροφὴ β'.

ΚΡΕΩΝ.

Ἴτω, ἴτω,
φανήτω[3] μόρων ὁ κάλλιστ' ἐμῶν
ἐμοὶ τερμίαν ἄγων ἁμέραν
ὕπατος· ἴτω, ἴτω,
ὅπως μηκέτ' ἆμαρ ἄλλ' εἰσίδω.

ΧΟΡΟΣ.

Μέλλοντα ταῦτα[4]· τῶν προκειμένων τι χρὴ
πράσσειν· μέλει γὰρ τῶνδ'[5] ὅτοισι χρὴ μέλειν.

δενί·„ ἐν Οἰδίποδ. ἐπὶ Κολων. 918 *"ἔδοξας εἶναι κἄμ' ἴσον τῷ μηδενί„.*

[1]) *Ὁ χορὸς ὀνομάζει κέρδος, ὅτι ὁ Κρέων κελεύει νὰ ἀπαχθῇ ἐκεῖθεν, ὅπως ἀποφύγῃ τὴν θέαν τῶν κακῶν.*

[2]) *Τἀν ποσὶν κακὰ κράτιστά ἐστι βράχιστα (ὄντα), δηλ. ὅσον εἶναι βραχύτερα, τόσον εἶναι καλλίτερα. Ἡ ἀνθρωπίνη φύσις δὲν ἀντέχει ἐπὶ μακρὸν εἰς τὴν θέαν τῶν κακῶν. Τὸ τοσούτῳ — ὅσῳ συνήθως τίθεται ἐπι τῶν παραθετικῶν Πλάτ. Πολιτ. ΙΙ.* 364 *Δ "ὅσῳ μέγιστον τὸ τῶν φυλάκων ἔργον, τοσούτῳ σχολῆς τε τῶν ἄλλων πλείστης ἂν εἴη καὶ αὖ τέχνης τε καὶ ἐπιμελείας μεγίστης δεόμενον„· ἐνίοτε δὲ παραλείπεται, Ξενοφ. Ἀπομν* IV, 1, 3 *"αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται„.*

[3]) *Ἡ σύνταξις ἔχει οὑτωσί· φανήτω μόρων ἐμῶν ὕπατος, ὁ κάλλιστ' ἄγων τερμίαν ἡμέραν ἐμοί. Ὁ Κρέων ἔθανε πολλάκις, δηλαδὴ ὑπέστη πολλὰς συμφορὰς ἴσας πρὸς θάνατον καὶ νῦν ἐπικαλεῖται τὸν ὕπατον θάνατον. Ἀντὶ ἐμῶν ὁ κ. Πάλλης εἰκάζει ἔ χ ω ν.*

[4]) *Ταῦτα ἀνήκουσιν εἰς τὸ μέλλον, περὶ δὲ τῶν προκειμένων (δηλαδὴ τῆς ταφῆς τῶν νεκρῶν) εἶναι ἀνάγκη νὰ φροντίσωμεν.*

[5]) *Τάδε εἶναι τὰ μέλλοντα. Διὰ τῆς ἑπομένης ἀντωνυμίας ὑπαινίσσεται τοὺς θεούς· διότι περὶ τῶν μελλόντων φροντίζουσιν ἐκεῖνοι, οἱ ὁποῖοι ἔχουσι χρέος νὰ φροντίζωσιν, Αἰσχύλ. ἐν Χοηφ.* 780 *"μέλει θεοῖσιν, ὧνπερ ἂν μέλῃ πέρι„.*

ΚΡΕΩΝ

Ἀλλ' ὧν ἐρῶμεν[1], *ταῦτα συγκατηυξάμην*[2].

ΧΟΡΟΣ.

Μὴ νῦν προσεύχου μηδέν· ὡς πεπρωμένης
οὐκ ἔστι θνητοῖς ξυμφορᾶς ἀπαλλαγή[3].

ΚΡΕΩΝ.

Ἄγοιτ' ἂν μάταιον ἄνδρ' ἐκποδών[4],
ὅς, ὦ παῖ, σέ τ' οὐχ ἑκὼν κάκτανον,
σέ τ' αὐτὰν[5], *ὤμοι μέλεος, οὐδ' ἔχω*
ὅπα[6] *πρὸς πότερον ἴδω, πᾷ καὶ θῶ*[7]·
πάντα γὰρ λέχρια[8] *τἀν χεροῖν, τὰ δ' ἐπὶ κρατί μοι*

[1]) *Ἐν τοῖς χειρογράφοις ἀναγινώσκεται, ἀλλ' ὧν ἐρῶ, ταῦτα, ἢ ἀλλ' ὧν ἐρῶ μέν, ταῦτα. Ἀντὶ τοῦ ἐρῶ μὲν ὁ* Bothe *ἔγραψε μίαν λέξιν ἐ ρ ῶ μ ε ν, ἣν ἐδέξαντο καὶ ἄλλοι. Ἂν δεχθῶμεν τὴν ἀνάγνωσιν ταύτην, ἔχομεν ἀνωμαλίαν ἐν τῷ ἀριθμῷ, ἥτις ἐνίοτε εὕρηται παρὰ τοῖς τραγικοῖς. Ἂν δὲ πάλιν διατηρήσωμεν τὸ ἐρῶ μέν, περιπίπτομεν εἰς τὴν δυσκολίαν, ὅτι προηγεῖται ὁ μέν, ἐν ᾧ δὲν ἕπεται ὁ δέ. Ἀλλὰ τοῦτο δὲν εἶναι ἀσύνηθες, ὡς ἐν τοῖς ἔμπροσθεν ἐν στίχ.* 468 *"ἐγὼ μὲν οὐδέν, τοῦτ' ἔχων ἅπαντ' ἔχω". Ὁ* Schmidt *τρέπει εἰς ὧν ἐρῶ 'γώ, ταῦτα.*

[2]) *Κατὰ τὸν* Bellermann *ἡ πρόθεσις δηλοῖ ἀμφότερα, δηλ. τὴν ταχεῖαν ἀπαγωγὴν ἐκ τῆς θέας τῶν νεκρῶν, καὶ τὸν αὐθημερὸν θάνατον. Ἄλλοι ὅμως ἐξηγοῦσι διὰ τοῦ συνελὼν κατηυξάμην, ὅπερ πιθανώτερον, δηλ. ὁ θάνατος εἶναι ἡ συγκεφαλαίωσις τῶν εὐχῶν μου.*

[3]) *Ἐν ἄλλαις λέξεσιν, οἱ θνητοὶ διὰ προσευχῶν δὲν ἀπαλλάσσονται τῆς πεπρωμένης συμφορᾶς.*

[4]) *Ὁ Κρέων ἐπανέρχεται εἰς τὴν παράκλησιν, ἣν ἐποίησεν ἐν στίχ.* 1320.

[5]) *Οὕτως ἔχουσι τὰ χειρόγραφα, ὁ δὲ* Seidler *ἔγραψεν α ὖ τ ό ν δ', ὅπερ ἐδέξαντο πλεῖστοι ἐκδόται. Κατὰ τὸν* Bellermann, *ὅστις διατηρεῖ τὴν γραφὴν τῶν χειρογράφων, ἡ φράσις περιέχει ἐπίτασιν, σὲ τὴν ἰδίαν ἐφόνευσα.*

[6]) *Τὸ ὅπ ᾳ ἐξαλείφει χάριν τοῦ μέτρου ὁ* Seidler, *ὅστις εὗρε πολλοὺς μιμητάς. Τὸ βλέπειν πρός τινα λέγεται, ὡς καὶ τὸ β λ έ π ε ι ν ε ἰ ς τ ο ὺ ς θ ε ο ὺ ς (στίχ.* 923*), δηλ. περιμένειν παρά τινος βοήθειαν.*

[7]) *Ἄλλοι γράφουσι κλιθῶ.*

[8]) *Ὁ Σχολιαστὴς ἑρμηνεύει οὑτωσί· " Πλάγια καὶ πεπτωκότα, τὰ μὲν ἐν χερσί, τὰ δὲ ἐπὶ τῇ κεφαλῇ". Αἱ λέξεις λέχριος, λέχρις, λέχος, λέγω εἶναι συγγενεῖς. Τὰ λ έ χ ρ ι α εἶναι τὸ ἀντίθετον τοῦ ὀρθά. Ἐπειδὴ υἱὸς καὶ ἡ γυνὴ δὲν εἶναι ὀρθά, δὲν

πότμος δυσκόμιστος εἰσήλατο.

ΧΟΡΟΣ.

Πολλῷ τὸ φρονεῖν εὐδαιμονίας[1]
πρῶτον ὑπάρχει· χρὴ δὲ τά γ' ἐς θεοὺς[2]
μηδὲν ἀσεπτεῖν· μεγάλοι δὲ λόγοι
μεγάλας πληγὰς τῶν ὑπεραύχων[3]
ἀποτίσαντες
γήρᾳ[4] *τὸ φρονεῖν ἐδίδαξαν*[5].

δύναται νὰ ἔχῃ στήριγμα τοῦ βίου. Μετὰ τοὺς λόγους τούτους οἱ θεράποντες ἀπάγουσι τὸν Κρέοντα.

1) *Ὀρθῶς ἔλεγεν ὁ Τειρεσίας, ὅτι τὸ ἄριστον τῶν κτημάτων εἶναι ἡ εὐβουλία ἐν στίχ.* 1048. *Κατὰ τὸν Σχολιαστήν· "Τὸ καλῶς φρονεῖν πρῶτόν ἐστιν εὐδαιμονίας, καὶ τοῖς ἀνθρώποις ἐξοχώτατον„.*

2) *Ὅσον ἀφορᾷ εἰς τοὺς θεούς, ὡς ἐν Φιλοκτήτ.* 1441 *"εὐσεβεῖν τὰ πρὸς θεούς„.*

3) *Ἡ γενικὴ ἐξαρτᾶται ἐκ τοῦ μεγάλοι λόγοι. Ὁ Σχολιαστὴς παρατηρεῖ· "Αἱ μεγαλορρημονίαι τῶν ὑπερηφάνων τιμωρίας μεγίστας τοῖς κεκτημένοις ἐπάγουσαι, τελευταῖον διδάσκουσι τὸ φρονεῖν· καὶ ὁ ποιητής· ῥεχθὲν δέ τε νήπιος ἔγνω„.*

4) *Ἡ λέξις αὕτη παρέχει δυσκολίαν, διότι δὲν διδάσκουσι διὰ τῆς παρόδου τοῦ χρόνου, ἀλλὰ διὰ τῶν συμφορῶν. Διὰ τοῦτο λίαν εὐφυῶς ὁ κ. Πάλλης εἰκάζει πείρᾳ, ὡς παρὰ Δημοσθέν.* 15, 16 *"εὖ μὲν γὰρ πράττοντες οὐκ οἶδ' εἴ ποτ' ἂν εὖ φρονεῖν ἠθέλησαν· ἔργῳ δὲ παραθέντες τάχ' ἂν σωφρονέστεροι γένοιντο„.*

5) *Εἶναι ἐμπειρικὸς ἀόριστος, ὡς καὶ ἐν τοῖς ἔμπροσθεν, ἐν στίχ.* 709 *τὸ "οὗτοι διαπτυχθέντες ὤφθησαν κενοί„.*

ΗΜΑΡΤΗΜΕΝΩΝ ΔΙΟΡΘΩΣΙΣ

Σελὶς	*στίχος*	*ἀντὶ*	*ἀνάγνωθι*
αγ΄	18	*ἔγγραφον*	*ἔγραφον*
6	18	*ἀγωνισόμενον*	*ἀγωνισάμενον*
81	34	*μετοχὴν συνήθως*	*μετοχήν. Συνήθως*
104	11	*Διὰ τῆ φράσεως*	*Διὰ τῆς φράσεως*
111	30	*νομίζοτσιν*	*νομίζουσιν*
129	22	*σεμνογόγει*	*σεμνολόγει*
134	35	Valckenauer	Valckenaer
136	11	*ἐξεύρει*	*ἐξεῦρεν*
143	17	*δηλῶντας*	*δηλοῦντας*
150	34	*ἄγραφους*	*ἀγράφους*
163	31	*πράξιν*	*πρᾶξιν*
175	33	*ὀρθῶς*	*ὀρθῶς*
203	2	*ἐν τ'*	*ἔν τ'*
206	19	*εἶναι*	*εἶναι*
224	19	*τὸ ἐκ χρυσοῦ χυθέντος*	*τὸ ἐκ χρυσοῦ χυθὲν*
228	32	*κακονυμφεύτου μιτρὸς*	*κακονυμφεύτου μητρὸς*
234	32	*ἐσγάρας*	*ἐσχάρας*
235	35	*όλγους*	*λόγους*

BIBΛΙΟΘΗΚΗ

ΕΛΛΗΝΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΕΚΔΕΔΟΜΕΝΩΝ

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ ΜΙΣΤΡΙΩΤΟΥ

ΟΜΗΡΟΣ

Ἰλιάδος	τόμου	πρώτου	τεῦχος	πρῶτον (Α—Β)	δρ.	2,75
»	»	»	»	δεύτερον (Γ—Ζ)	»	2,25
»	»	δευτέρου	»	πρῶτον (Η—Κ)	»	3,20
»	»	»	»	δεύτερον (Λ—Ο)	»	3,50
»	»	τρίτου	»	πρῶτον (Π—Υ)	»	3,50
»	»	»	»	δεύτερον (Φ—Ω)	»	3,00

Ἡ ὅλη Ἰλιὰς . . . . » 15,00
Ἱστορία τῶν ὁμηρικῶν ἐπῶν . . . . . . » 4,50

ΣΟΦΟΚΛΗΣ

Ἀντιγόνη (ἔκδοσις δευτέρα) . . . . . . » 3,60
Οἰδίπους τύραννος . . . . » 3,60
Ἠλέκτρα . . . . » 3,60
Αἴας . . . . » 3,60
Φιλοκτήτης . . . . » 3,80

ΕΥΡΙΠΙΔΗΣ

Μήδεια . . . . » 3,60

ΠΛΑΤΩΝ

Γοργίας (ἔκδοσις δευτέρα) . . . . » 5,50
Πρωταγόρας . . . . » 3,60
Ἀπολογία Σωκράτους (ἔκδοσις δευτέρα) . . . » 2,70
Κρίτων . . . . » 1,80
Λάχης . . . . » 3,00